(Μο.) ἀλλὰ .........ἐκδότης εκδ̣ο̣ς̣ε̣ι̣[..]ει λαβο̣[
ἑπτὰ [......]. τάλαντα.
(Δα.) παντοπωλεῖν [βούλομαι,
Μοςχίων, ἢ [τυρ]ο̣π̣[ω]λεῖν ἐν ἀγορᾶι καθήμε[νος.
ὀμνύω [ ] καθεc[τάναι.
κατ᾽ ἐμὲ ταῦτ᾽, ἐ̣[μοί τ᾽ ἀρέcκει] μᾶλλον.
(Μο.) αν̣[
..]δεκ[.]ι...ηγενοιθ̣᾽ ὃ μελ[ιτόπ]ωλις εὐ[
γραῦς.
(Δα.) τὸ γαcτρίζεcθ᾽ ἀρέcκε[ι, ]γ̣εγ̣[ονέναι δέ γ᾽ ἄξιος
φήμ᾽ ἐφ᾽ οἷς εἴρηκα τούτοις.
(Μο.) μα[
ἦcθας· ἀλλὰ τυροπώλει καὶ τα̣λ̣[.]ι̣[
(Δα.) ταῦτα μὲν δή, φαcίν, εὔχθω· δ[
οἰκίαν ἄνοιγε τρόφιμε.
(Μο.) δεῖ μ̣[
ἐ[μὲ δὲ] παραμυθεῖcθ᾽ [ἐκεί]ν[ην νῦν προcήκει καὶ γελᾶν
ἐπὶ θεοῖς ἐχθρῶι πτεροφόραι χιλιάρχωι.
(Δα.) καὶ μάλα.
(Μο.) εἰcιὼν δέ μοι cύ, Δᾶε, τῶν ὅλων κατάcκοπος
πραγμάτων γενοῦ, τί ποιεῖ, ποῦ ᾽cτιν ἡ μήτηρ, ἐμὲ
εἰς τὸ προcδοκᾶν ἔχουcι πῶς· τὸ τοιουτὶ μέρος
οὐκ ἀκριβῶς δεῖ φράcαι cοι· κομψὸς εἶ.
(Δα.) πορεύcομαι.
(Μο.) περιπατῶν δὲ προcμενῶ cε, ⟨Δᾶε⟩, πρόcθε τῶν θυρῶν.
ἀλλ᾽ ἔδειξεν μέν τι τοιοῦθ᾽ ὡς προcῆλθον ἑcπέρας·